Κοντάκιον

Τῷ Παναγίῳ καὶ Σεπτῷ Τάφῳ Σου Δέσποτα,
Παρεστηκὼς ὁ εὐτελής τε καὶ ἀνάξιος,
Τὴν ἐμὴν ἀφοσιώσασθαι μετὰ πόθου,
Οἰκτροτάτην ταύτην δέησιν τετόλμηκα,
Καὶ εἰς δύναμιν συμπλέξας Τούτῳ ἔπαινον,
Προσφεγγόμενος· Χαίροις, Τάφε Πανάγιε.

Νέος ὢν Ἰωάννης, καὶ δρομέως ὁδεύων, προέδραμε τάχιον τοῦ Πέτρου· εἶτα ὁ Σίμων ἀκολουθῶν καί γε ἐν τῷ Τάφῳ εἰσελθὼν ἔρχεται, σινδόνας καὶ σουδάριον φωτὶ διακρίνων καὶ φάσκων·

Χαῖρε, ὁ φῶς ἀντὶ σκότους ἔχων·
χαῖρε, ὀσμὴν εὐωδίας πέμπων.



Χαῖρε, τῶν λοιπῶν τάφων πάντων ἀνόμοιος·
χαῖρε, θνητῶν μνημάτων Μνῆμα διάφορον.

Χαῖρε, ὅνπερ προϊστόρησε κῆτος πρὶν τοῦ Ἰωνᾶ·
χαῖρε, ὅνπερ ἐξηρεύνησεν ὁ υἱὸς τοῦ Ἰωνᾶ.

Χαῖρε, ὅτι συνέσχες ἐν βραχεῖ τὸν Ταφέντα·
χαῖρε, ὅτι δεικνύεις τὸν Χριστὸν ἀναστάντα.

Χαῖρε, ἐξ οὗ ὁ λίθος κεκύλισται·
χαῖρε, δι' οὗ τὰ πάντα πεφώτισται.

Χαῖρε, Ρωμαίων τοὺς λόγους πετάξας·
χαῖρε, Ἑβραίων τοὺς δόλους σκεδάσας.

**Χαῖρε, Τάφε Πανάγιε**

Ξένον ὦ Ζωοδότα καὶ παράδοξον πέλει, τῆς σῆς Ἀναστάσεως τὸ θαῦμα· ὅθεν ἐδίστασε μὲν Θωμᾶς, πιστεύσας δ' ὅμως σὺν τοῖς λοιποῖς

ἔλεγε· Σύ μου Θεὸς καὶ Κύριος, ἀκούων παρὰ πάντων οὕτως·

### Ἀλληλούϊα

Ὅλος ὁ ἐν Πατρῴοις καθεζόμενος κόλποις, μετὰ ληστοῦ ἦν ἐν Παραδείσῳ, ἐν τῷ Ἅδῃ δὲ μετὰ ψυχῆς, καὶ ἐν τῷ Τάφῳ σωματικῶς ὕπνωσεν, ἐκ τούτου δὲ τριήμερος ἀναστὰς ἐδίδαξε λέγειν·

Χαῖρε, φορεῖον τοῦ Βασιλέως·
χαῖρε, Παλάτιον Θεοῦ ζῶντος.

Χαῖρε, χρυσοστόλιστον ἔνθεον τέμενος·
χαῖρε, χρυσοσκεύαστος φάρος ἀείφωτος.

Χαῖρε, ὅνπερ προεσήμανε λάκκος ὁ τοῦ Ἰωσήφ·
χαῖρε, Ὃν ἐσκιαγράφησε τάφος Ἐλισσαίου πρίν.



Χαῖρε, διαφυλάξας τὰ ἐντάφια πάντα·
χαῖρε, διασαλπίσας τὸν Χριστὸν ἀναστάντα.

Χαῖρε, Σιὼν Ἁγίας τὸ σέμνωμα·
χαῖρε, Σαλὴμ βαρέων τὸ ἔρεισμα.

Χαῖρε, ὁ βασιλικώτατος θῶκος·
χαῖρε, ὁ πανευπρεπέστατος δίφρος.

### Χαῖρε, Τάφε Πανάγιε

Πάσης χαρᾶς ἐπλήσθη, ἡ Ἑλένη ἰδοῦσα, ἐν Τάφῳ τὸν Σταυρὸν τοῦ Κυρίου· καὶ Ναὸν τῇ δὲ πολυτελῇ, ὑψηλῇ χειρὶ βασιλικῇ ἤγειρε, σὺν πᾶσι προσκυνήμασι, ταὐτόν ποιοῦσα ἐπεφώνει·

### Ἀλληλούϊα

Ρήμασι Θεοφθέγκτοις, ἱεροὶ ὑμνογράφοι, τιμῶσιν ἀνυμνοῦντες ἐνθέως, Σὲ Πανάγιε Τάφε Χριστοῦ, ὕμνους

καὶ ᾠδὰς πνευματικὰς πλέκοντες, πανσόφως δὲ ἐκθειάζοντες, καὶ σὺν πολλῷ μέλποντες πόθῳ·

Χαῖρε, πιστῶν καρδίας θερμαίνων·
χαῖρε, ἀπίστοις τρόμον ἐμβάλλων.

Χαῖρε, νοημάτων ἐνθέων ἡ ἄβυσσος·
χαῖρε, θείων λόγων βυθὸς ὠκεάνειος.

Χαῖρε, κάτοπτρον λαμπρότατον τῆς Θεότητος Χριστοῦ·
χαῖρε, λάμψεις θείων γνώσεων ἀπαστράπτων τὰς Αὐτοῦ.

Χαῖρε, δι' οὗ ἐφθάρη τὰ τοῦ Ἅδου ταμεῖα·
χαῖρε, δι' οὗ ἠνοίχθη Παραδείσου ἡ θύρα.

Χαῖρε, Ναὸς ὃν ᾤκεισε ὁ Ὕψιστος·
χαῖρε, τόπος οὗ ἔκειτο ὁ Κύριος.

Χαῖρε, Κλιντὴρ θαυμαστὸς τοῦ Κυρίου·
χαῖρε, κοιτὼν ἐσφαγμένου Ἀρνίου.

**Χαῖρε, Τάφε Πανάγιε**



Στίφη τῶν Ὀρθοδόξων καὶ Ἐθνῶν αἱ χορεῖαι, λαοί, φυλαὶ καὶ γλῶσσαι ἀνθρώπων, προσκυνῆτε τὸν Τάφον Χριστοῦ, μετὰ φόβου, πόθου καὶ χαρᾶς λέγοντες· δοξάζομεν τὸν δόντα σοι τοιαύτην χάριν ἐκβοῶντες·

**Ἀλληλούϊα**

*Ὠδὴ ζ΄. Ὁ Εἱρμός.*

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ Θεόφρονες παρά τὸν κτίσαντα ἀλλά πυρός ἀπειλήν ἀνδρείως πατήσαντες χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

## Τροπάρια

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

᾿Απορεῖ πᾶσα ἡ κτίσις καθορῶσα Σε, Τάφε Κυρίου Σεπτέ, πῶς λύπην ἐδίωξας μεταβαλών εἰς χαράν, τοῖς προστρέχουσι, τιμῆσαι ἐπαξίως, τὸν Σοί ταφέντα ᾿Αθάνατον.

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

᾿Ιωνᾶς Σοῦ τὴν προτύπωσιν ἀνέδειξε, Τάφε Πανάγιε, ἐκ τοῦ βυθοῦ προελθών· ἐν Σοί δὲ προσέτρεξε τοῦ ᾿Ιωνᾶ ὁ Υἱός, κηρῦξαι τὴν ἔγερσιν τοῦ Θείου Διδασκάλου, καὶ Λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.



**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ρῶσις ἄφατος, ἐκ Σοῦ βροτοῖς παρέχεται, χαῖρε Τάφε τοῦ Παμβασιλέως, θάλαμος βασιλικός, ἐν ᾧ κατεσκήνωσεν ὁ Λυτρωτής καὶ Θεός, ὃν δοξάζοντες, πάντες χαρᾶς πληρούμεθα καὶ τὴν ἄφεσιν αἰτοῦμεν.

**Δόξα Πατρί καὶ Υἱῷ καὶ ῾Αγίῳ Πνεύματι.**

᾿Επαξίως ἀνυμνοῦμεν καὶ γεραίρομεν καὶ ἀνακράζομεν, χαῖρε ὁ τόπος ἐν ᾧ, σαρκί τεθησαύρισται ὁ τῆς Ζωῆς χορηγός, ᾿Αδάμ νέου θάλαμος, παστάς Δεσπότου, δι᾿ οὗ ἀτενίζομεν τὰ ἐπουράνια.

**Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Ἱκευτεύομεν, ἐν πίστει Σοί προσπίπτοντες, τὸν ξενισθέντα ἐν Σοί, πταισμάτων τὴν ἄφεσιν ἡμῖν δωρήσασθαι. Τάφε Πανάγιε, πόθε παντός Ἁγίου, Σύ γὰρ ἀναδέδειξαι Ἐδέμ λαμπρότερος.

*Ὠδὴ η΄. Ὁ Εἱρμός.*

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, ἑκὼν τεθεὶς ἐν τάφῳ δέ, βροτῶν δεσμά διέλυσε. Ἡμεῖς δὲ πάντες μέλπομεν τῷ Βασιλεῖ καὶ Θεῷ· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.



## Τροπάρια

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Νόμῳ θανάτου δεδεμένοι, λυόμεθα νῦν ἐκ τῆς φθορᾶς, τεθέντος Σου τῷ μνήματι καὶ νέαν κτίσιν δείξαντος. Ἡμεῖς δὲ πάντες χαίροντες ψάλλομεν Σοί τῷ Θεῷ· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Μῦρα σύν δάκρυσιν ἐν φόβῳ, κομίζουσιν ὄρθριαι Χριστέ, γυναῖκες τῷ Σῷ μνήματι, νεκροπρεπῶς μυρίσαι Σε. Ὁρῶσαι δὲ τὸν Ἄγγελον ἐν χαρᾷ μέλπουσι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ὁ λίθος κεκύλισται ἀφράστως μὴ φέρων καλῦψαι τὴν Ζωήν, ἤ, Σοί ἑκοῦσα τέθαπται, Τάφε Χριστοῦ Πανάγιε. Ἡμεῖς δὲ ἀνακράζομεν τῷ προελθόντι ἐκ Σοῦ· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Νεκροὶ διὰ Σοῦ ζωοποιοῦνται· καὶ γὰρ θανάτου τὸν νεκρωτήν ἐκάλυψας, σαρκί σαββατίζοντα, καὶ τοὺς βροτούς ἐγείροντα. Φωτὶ δὲ Ἀναστάσεως καταυγαζόμενοι πίστει μέλπομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.



**Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Ὦ Τάφε Θεῖε τοῦ Κυρίου, πηγὴ Ἀναστάσεως βροτῶν, δεσμῶν θανάτου σύνθλιψις, πυλῶν Ἐδέμ διάνοιξις, χάριν Δεσπότου δώρησαι τοῖς ἀνακράζουσι· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ΄. Ὁ Εἱρμός.*

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος πανηγυριζέτω δὲ ἀΰλων νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος καὶ βοάτω· χαίροις Παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

## Τροπάρια

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ἵνα καὶ ἡμεῖς, ἀπαύστως ὑμνήσωμεν τὴν Σὴν Ἀνάστασιν, Πανάγαθε Κύριε, κατέστησας τὸ Μνῆμα Σου πηγὴν ἰάσεων, καὶ παρέχεις τοῖς πιστοῖς τὴν Λύτρωσιν καὶ ἀφθάρτου Ζωῆς τὴν ἀπόλαυσιν.

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ἥλιος λαμπρός, ἐκ Σοῦ ἐξανέτειλε Τάφε Πανάγιε, καὶ ἅπαντα ἐκάλυψε, τὸ φῶς τῆς Ἀναστάσεως, ὃ καταυγάζει ψυχάς, καὶ φωτίζει πάντας τοὺς πιστεύοντας καὶ ὑμνοῦντας τῆς Δόξης τὸν Κύριον.



**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Σῶσαι τοὺς βροτούς, ἑκὼν καταβέβηκας ἐξ οὐρανοῦ, Λυτρωτά, καὶ ἑκὼν ἐχώρησας ἐν τῇ νηδύϊ τῆς Θεομήτορος, ἐκπλῦναι δὲ Σῷ Αἵματι, Ἀδάμ καὶ Εὔας ἀράν, τὸν Σόν Τάφον κλίμακα κατέστησας ἵνα Ἅδου συνθλάσῃς Βασίλεια.

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ὁ τὸν Λυτρωτήν, ὑπνοῦντα δεξάμενος καὶ σαββατίζοντα, Σὺ Τάφε Πανάγιε, τοῦ Βασιλέως οἴκημα, φάρος ἀείφωτος, ἀνατέλλεις, Φῶς τὸ ἐπουράνιον, τῇ ἡμέρᾳ τῆς Θείας Ἐγέρσεως.

**Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Ὕμνοις καὶ ᾠδαῖς, ἀπαύστως δοξάζομεν καὶ μεγαλύνομεν, Τάφον τὸν Πανάγιον, παστάδα ἐπουράνιον Χριστιανῶν χαρμονὴν καὶ δαιμόνων τραῦμα πολυθρήνητον, Μαρτυρίαν τῆς θείας Δυνάμεως.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Σῶσον με Μητρός, τῇ χάριτι, δέομαι τῆς Παναχράντου Σου, καὶ τοῦ Θεοδέγμονος Τάφου Σου Κύριε, ᾧ Σύ κατέπαυσας, ἵνα λύσῃς τὴν ἀρὰν τοῦ ὄφεως καὶ δεσμῶν τοῦ θανάτου λυτρώσῃς με.

## Κοντάκιον

Τῷ Παναγίῳ καὶ Σεπτῷ Τάφῳ Σου Δέσποτα,
Παρεστηκὼς ὁ εὐτελής τε καὶ ἀνάξιος,
Τὴν ἐμὴν ἀφοσιώσασθαι μετὰ πόθου,
Οἰκτροτάτην ταύτην δέησιν τετόλμηκα,
Καὶ εἰς δύναμιν συμπλέξας Τούτῳ ἔπαινον,
Προσφεγγόμενος· Χαίροις, Τάφε Πανάγιε.

Τάφον τοῦ Ζωοδότου, μετὰ φόβου κυκλοῦντες, Βασιλεῖς, ἄρχοντες, μεγιστάνες, Πατριάρχαι καὶ Ἀρχιερεῖς, Ἱερεῖς, Μοναχοί, λαϊκοὶ σύμπαντες προθύμως ἑορτάζουσι, καὶ πόθῳ προσφωνοῦσι ταῦτα·

Χαῖρε, Ταφῆς Θεοσώμου Μνῆμα·
χαῖρε, Θεοῦ παρουσίας δεῖγμα.

Χαῖρε, πεπτωκότων ἀνθρώπων ἀνόρθωσις·
χαῖρε, τῶν πταισμάτων ἡμῶν ἡ συγχώρησις.

Χαῖρε, τύπος ἢ πρωτότυπον Κολυμβήθρας ἱερᾶς·
χαῖρε, εἰς ὃν βαπτιζόμεθα ὡς ὁ Παῦλος ἐκβοᾷ.

Χαῖρε, τῶν Μυστηρίων πρωτυπώσας τὸ πρῶτον·
χαῖρε, τῆς σωτηρίας ὑποδείξας τὸν τρόπον.

Χαῖρε, δι' οὗ Χριστῷ συναπτόμεθα·
χαῖρε, δι' οὗ φωτὶ φωτιζόμεθα.

Χαῖρε, Παθῶν τοῦ Κυρίου τὸ πέρας·
χαῖρε, λαοῦ εὐσεβοῦντος τὸ κέρας.

## Χαῖρε, Τάφε Πανάγιε

Ὕπνος ὄντως ἐδείχθη, Σοῦ τεθέντος ἐν Τάφῳ, ὁ θάνατος πιστοῖς, Ζωοδότα· διὸ Σοῦ δεόμεθα θερμῶς, μετὰ τῶν Δικαίων, Ἀγαθέ,



σύνταξον, τοὺς πίστει τελευτήσαντας, Ἀγγέλοις Ἁγίοις συμψάλλειν·

## Ἀλληλούϊα

Φῶς ὑπάρχων τοῦ Κόσμου, φωτοδότα Σωτήρ μου, ἐπλήρωσας φωτὸς Σου τὰ πάντα· τὸν οὐρανὸν ἅμα καὶ τὴν γῆν, σὺν τοῖς καταχθονίοις αὐτοῖς Δέσποτα· γεραίρειν τε ἐδίδαξας τὸν Σὸν Τάφον καὶ λέγειν ταῦτα·

Χαῖρε, τὸ φῶς χορηγῶν τοῖς πᾶσι·
χαῖρε, τὸ πῶς ἀποκρύπτων πᾶσι.

Χαῖρε, Ὀρθοδόξου λαοῦ στῦλος πίστεως·
χαῖρε, νοητοῦ Ἡλίου δίσκος πάμφωτος.

Χαῖρε, φῶς ὁ ἔχων πάντοτε κεκρυμμένον ἀφ' ἡμῶν·
χαῖρε, φῶς τὸ μέγα Σάββατον ἀναβρύων ἐμφανῶς.

Χαῖρε, ὁ καὶ ἐν τούτῳ τὴν σὴν δόξαν σφραγίζων·
χαῖρε, ὁ διὰ τούτου τοὺς πιστοὺς ἁγιάζων.

Χαῖρε, Ἱερουσαλὴμ χαράκωμα·
χαῖρε, Σιὼν ἁγίας τὸ καύχημα.

Χαῖρε, τὸ κλέος πάσης Παλαιστίνης·
χαῖρε, χαρὰ ψυχῆς τῆς θλιβομένης.

### Χαῖρε, Τάφε Πανάγιε

Χαῖρε, Μυροφόροις Ἰησοῦς προσεφώνει, εἰπεῖν τε Μαθηταῖς ἀποστέλλει· ἐν ὄρει Γαλιλαίας δραμεῖν, Αὐτὸν δ' ἀναστάντα ἐκ νεκρῶν ὄψονται· αἱ δὲ πόδας κρατήσασαι προσεκύνουν Αὐτῷ βοῶσαι·

### Ἀλληλούϊα

Ψάλλων παναρμονίως ὁ Δαυὶδ θαυμασίως, τῆς κρίσεως προλέγει τὸν τόπον· ὡς ἐτέθησαν θρόνοι ἐκεῖ, θρόνοι ἐπὶ τὸν οἶκον Δαυίδ, φρίξωμεν! Κριτήν τε δυσωπήσωμεν, Οὗ τὸν Τάφον φαμὲν ὁρῶντες·



Χαῖρε, ὁ πόθος παντὸς Ἁγίου·
χαῖρε, ὁ ἔρως ὁ τοῦ Λαργάτου.

Χαῖρε, τελευτώντων ἐλπὶς ἀκαταίσχυντος·
χαῖρε, κρινομένων ὁ μέγας συνήγορος.

Χαῖρε, οὗπερ ἡ ἀνάμνησις εὐμενίζει τὸν Κριτήν·
χαῖρε, πείθων τὸν Ἀδέκαστον ὑπευθύνους συγχωρεῖν.

Χαῖρε, τὸ τῶν δαιμόνων πολυστένακτον τραῦμα·
χαῖρε, τῶν Ὀρθοδόξων πολυπόθητον κτῆμα.

Χαῖρε, Χριστοῦ παρουσίας ἔποψις·
χαῖρε, φρικτῆς δευτέρας ἡ κύρωσις.

Χαῖρε, πικροῦ καταλύτης θανάτου·
χαῖρε, ὁ ρύστης δευτέρου θανάτου.

### Χαῖρε, Τάφε Πανάγιε

Ὦ Θεάνθρωπε Σῶτερ, Ἰησοῦ Ζωοδότα, ὁ ἐν τούτῳ κηδευθεὶς τῷ Τάφῳ· (γ΄) δέησίν μου ταύτην τὴν οἰκτράν, ὡς μόνον φιλάνθρωπος Θεός, πρόσδεξαι· καὶ λύτρωσαι κολάσεως πάσης τοὺς πίστει μελῳδοῦντας·

**Ἀλληλούϊα**

Καὶ πάλιν τὸν πρῶτον οἶκον Ἄναρχε Θεοῦ Λόγε (σελ.15).

### Κοντάκιον

Τῷ Παναγίῳ καὶ Σεπτῷ Τάφῳ Σου Δέσποτα,
Παρεστηκὼς ὁ εὐτελής τε καὶ ἀνάξιος,
Τὴν ἐμὴν ἀφοσιώσασθαι μετὰ πόθου,
Οἰκτροτάτην ταύτην δέησιν τετόλμηκα,
Καὶ εἰς δύναμιν συμπλέξας Τούτῳ ἔπαινον,
Προσφεγγόμενος· Χαίροις, Τάφε Πανάγιε.

**Ὁ Ἱερεύς:**

*Ποιεῖ τὴν κάτωθι δέησιν, τῶν χορῶν ψαλλόντων τὸ* Κύριε, Ἐλέησον *ἐναλλὰξ καὶ ὡς κατωτέρω:*

**Ὁ Ἱερεύς:**

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Χορός (Δεξ.)

ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον.

Ὁ Ἱερεύς:

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ὁ Χορός (Ἀρ.)

ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον

Ὁ Ἱερεύς:

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς καὶ Πατριάρχου ἡμῶν **(δεῖνος)**.

Ὁ Χορός (Δεξ.)

ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον.

Ὁ Ἱερεύς:

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν



ἡμῶν Ἀρχιερέων, Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων καὶ Μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ὁ Χορός (Ἀρ.)

ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον.

Ὁ Ἱερεύς:

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, διαφυλάξεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν, προσκυνητῶν, ἐπιτρόπων τε καὶ συνδρομητῶν τοῦ Παναγίου καὶ Ζωοδόχου Τάφου καὶ τῶν κατοικούντων καὶ εὑρισκομένων ἐν τῇ ἁγίᾳ Πόλει *(ἢ πόλει)* ταύτῃ σὺν γυναιξὶ καὶ τέκνοις αὐτῶν.

῾Ο Χορός (Δεξ.)

ΚΥΡΙΕ, ᾿Ελέησον· ΚΥΡΙΕ, ᾿Ελέησον· ΚΥΡΙΕ, ᾿Ελέησον.

῾Ο ῾Ιερεύς:

῎Ετι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ῾Αγίαν Μονήν (ἢ ᾿Εκκλησίαν) καὶ ῾Αγίαν Πόλιν (ἢ πόλιν) ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καὶ αἰφνιδίου θανάτου. ῾Υπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην, καὶ ρύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.



(*Τὸ* Κύριε, ᾿Ελέησον *ψάλλεται 40/κις ὑπὸ τῶν χορῶν ἐναλλὰξ ἤτοι 4/κις ἐξ ἑνὸς ἑκάστου χοροῦ καὶ ἐξ ἀνταμοιβῆς 10/κις*).

῾Ο ῾Ιερεύς:

῎Ετι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

*Καὶ πάλιν τρὶς ἅπαξ ὑφ' ἑκάστου Χοροῦ ἀργῶς.*

῾Ο Χορός (Δεξ.)

῾Ο Χορός (᾿Αρ.)

ΚΥΡΙΕ, ᾿Ελέησον· ΚΥΡΙΕ, ᾿Ελέησον· ΚΥΡΙΕ, ᾿Ελέησον.

῾Ο ῾Ιερεύς:

᾿Επάκουσον ἡμῶν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μα-

Ἐνδόξου Σου Ἀναστάσεως. Ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν καὶ ἀναξίων δούλων σου, καὶ συγχωρήσας ἡμῖν τὰ ἑκούσια καὶ ἀκούσια ἁμαρτήματα, τείχισον ἡμᾶς Ἁγίοις Ἀγγέλοις Σου· Περιχαράκωσον ἡμᾶς τῇ Ἀληθείᾳ Σου. Φρούρησον ἡμᾶς τῇ Δυνάμει Σου. Ἔκτεινον πᾶσιν ἡμῖν χεῖρα βοηθείας. Μνήσθητι ΚΥΡΙΕ τῶν περιεστώτων Προσκυνητῶν τοῦ Παναγίου καὶ Ζωοδόχου Σου Τάφου, καὶ ἐλέησον αὐτοὺς κατὰ τὸ πλῆθος τοῦ ἐλέους Σου. Τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ· Τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον. Τὰ νήπια ἔκθρεψον· Τὴν νεότητα παιδαγώγησον· Τὸ γῆρας περικράτισον. Τοὺς ὀλιγοψύχους παραμύθησαι· Τοῖς πλέουσι σύμπλευσον· Τοῖς ὁδοιποροῦσι συνόδευσον· Τοὺς νοσοῦντας ἴασαι·



Χηρῶν πρόστηθι, Ὀρφανῶν ὑπεράσπισον. Δὸς πᾶσι τὰ πρὸς σωτηρίαν αἰτήματα. Μνήσθητι ΚΥΡΙΕ τῶν ἐπ' ἐλπίδι ἀναστάσεως αἰωνίου κεκοιμημένων ἀδελφῶν ἡμῶν, καὶ κατάταξον τὰ πνεύματα καὶ ὀνόματα αὐτῶν ἐν βίβλῳ Ζωῆς, ἐν κόλποις Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ· ἐν χώρᾳ ζώντων, ἐν παραδείσῳ, τρυφῆς. Μνήσθητι ΚΥΡΙΕ ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν Σου παντὸς τοῦ λαοῦ Σου, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν παντὶ τόπῳ τῆς Δεσποτείας Σου, καὶ πᾶσι χορήγησον τὸ Μέγα Σου Ἔλεος· Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν Δόξαν, εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ Ἀνάρχῳ Σου Πατρί, καὶ τῷ Παναγίῳ καὶ

Ἀγαθῷ καὶ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ᾀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς: *(ποιεῖ τὴν μικρὰν ἀπόλυσιν): Στραφεὶς πρὸς Δυσμὰς καὶ βλέπων πρὸς τὸ Ἐκκλησίασμα Δοξάζει τὸν Θεὸν λέγων:*

Δόξα Σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν,
ἡ ἐλπὶς ἡμῶν Κύριε, Δόξα Σοι.

Ὁ Ἀναγνώστης.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον· ΚΥΡΙΕ, Ἐλέησον.

Πάτερ Ἅγιε, εὐλόγησον.

*καὶ εὐθὺς ἡ οἰκεία ἀπόλυσις ὑπὸ τοῦ Ἱερέως.*

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν



ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου ἁγίας Αὐτοῦ Μητρός, δυνάμει τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ· τῇ χάριτι τοῦ Παναγίου καὶ Ζωοδόχου Τάφου. Προστασίαις τῶν Τιμίων ἐπουρανίων, θείων, νοερῶν, ἀΰλων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ Τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου καὶ πρώτου Ἱεράρχου τῶν Ἱεροσολύμων·

Τῶν Ἁγίων Ἐνδόξων καὶ Καλλινίκων Μαρτύρων, *(τοῦ Ἁγίου τοῦ Ναοῦ)*, τῶν Ἁγίων καὶ Δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, *(τοῦ Ἁγίου τῆς ἡμέρας, οὗ τὴν μνήμην ἐπιτελοῦμεν)* καὶ Πάντων τῶν Ἁγίων, Ἐλε-

ῆσαι καὶ Σῶσαι ἡμᾶς, ὡς Ἀγαθὸς καὶ Φιλάνθρωπος.

Ὁ Ἀναγνώστης.

Ἀμήν.

Εἰς δὲ τὸν ἀσπασμὸν τοῦ Παναγίου καὶ Ζωοδόχου Τάφου ψάλλομεν τὰ παρόντα Τροπάρια:

Ὁ Χορός:

Τὸν Τάφον Σου Σωτήρ, Στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν Ἀνάστασιν. Σὲ Δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην· Σοὶ Προσπίπτομεν, τῷ Ἀναστάντι ἐκ Τάφου καὶ μόνῳ Θεῷ ἡμῶν.

Ὁ Χορός:

Ὡς Ζωηφόρος, ὡς Παραδείσου ὡραιότητος ὄντως καὶ παστάδος πάσης Βασιλικῆς ἀναδέδεικται λαμπρότερος, Χριστέ, ὁ Τάφος Σου, ἡ Πηγὴ τῆς ἡμῶν Ἀναστάσεως.



Τὸ Θεοτοκίον.

Ὁ Χορός:

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον Θεῖον Σκήνωμα, Χαῖρε· διὰ Σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε, τοῖς κραυγάζουσιν· Εὐλογημένη Σὺ ἐν γυναιξίν, ὑπάρχεις Πανάμωμε Δέσποινα.

Ὁ Ἱερεύς:

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης:

Ἀμήν.